πρῶτον μὲν ἐνθεὶϲ ϲύνεϲιν, εἶτα δ' ἄγγελον
γλῶϲϲαν λόγων δούϲ, ὥϲτε γιγνώϲκειν ὄπα,
τροφήν τε καρποῦ τῆι τροφῆι τ' ἀπ' οὐρανοῦ
ϲταγόναϲ ὑδρηλὰϲ ὡϲ τά τ' ἐκ γαίαϲ τρέφηι
ἄρδηι τε νηδύν· πρὸϲ δὲ τοῖϲι χείματοϲ
προβλήματ' αἰθόν ⟨τ'⟩ ἐξαμύναϲθαι θεοῦ,
πόντου τε ναυϲτολήμαθ' ὡϲ διαλλαγὰϲ
ἔχοιμεν ἀλλήλοιϲιν ὧν πένοιτο γῆ.
ἃ δ' ἔϲτ' ἄϲημα κοὐ ϲαφῶϲ γιγνώϲκομεν,
ἐϲ πῦρ βλέποντεϲ καὶ κατὰ ϲπλάγχνων πτυχὰϲ
μάντειϲ προϲημαίνουϲιν οἰωνῶν τ' ἄπο.
ἆρ' οὐ τρυφῶμεν, θεοῦ καταϲκευὴν βίωι
δόντοϲ τοιαύτην, οἷϲιν οὐκ ἀρκεῖ τάδε;
ἀλλ' ἡ φρόνηϲιϲ τοῦ θεοῦ μεῖζον ϲθένειν
ζητεῖ, τὸ γαῦρον δ' ἐν φρεϲὶν κεκτημένοι
δοκοῦμεν εἶναι δαιμόνων ϲοφώτεροι.
ἧϲ καὶ ϲὺ φαίνηι δεκάδοϲ, οὐ ϲοφὸϲ γεγώϲ,
ὅϲτιϲ κόραϲ μὲν θεϲφάτοιϲ Φοίβου ζυγεὶϲ
ξένοιϲιν ὧδ' ἔδωκαϲ ὡϲ δόντων θεῶν,
λαμπρὸν δὲ θολερῶι δῶμα ϲυμμείξαϲ τὸ ϲὸν
ἥλκωϲαϲ οἴκουϲ· χρὴ γὰρ οὔτε ϲώματα
ἄδικα δικαίοιϲ τὸν ϲοφὸν ϲυμμειγνύναι
εὐδαιμονοῦντάϲ τ' ἐϲ δόμουϲ κτᾶϲθαι φίλουϲ.
κοινὰϲ γὰρ ὁ θεὸϲ τὰϲ τύχαϲ ἡγούμενοϲ
τοῖϲ τοῦ νοϲοῦντοϲ πήμαϲιν διώλεϲεν
τὸν οὐ νοϲοῦντα κοὐδὲν ἠδικηκότα.
ἐϲ δὲ ϲτρατείαν πάνταϲ Ἀργείουϲ ἄγων,
μάντεων λεγόντων θέϲφατ' εἶτ' ἀτιμάϲαϲ,
βίαι παρελθὼν θεοὺϲ ἀπώλεϲαϲ πόλιν,



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41614540X/19 UNIVERSITÄT LEIPZIG